ΠΑΡΑΡΤΗΜΑ ΕΛΛΗΝΙΚΟΝ

πρὸς ὠφέλειαν τῶν διδασκάλων, τῶν τὰ τῆς Ἑλλάδος γλώσσης Ἑλληνιστὶ παραδιδόναι προθυμουμένων.

Α. ΟΡΟΙ ΓΡΑΜΜΑΤΙΚΟΙ.

α. *Λόγος* ὀνομάζεται ἄθροισις λέξεων ἀκέραιον δηλοῦσα διάνοιαν, οἷον 'οἱ Ἕλληνες εἰσέβαλον εἰς τὴν Ἀσίαν.' Τὰ δὲ τοῦ λόγου στοιχεῖα λέγονται ὧδε, *ἄρθρον*, *ὄνομα*, *ἐπίθετον*, *ἀντωνυμία*, *ῥῆμα*, *ἐπίῤῥημα*, *πρόθεσις*, *σύνδεσμος*, *ἐπιφώνημα*.

β. Τοῦ ὀνόματος αἱ πτώσεις ὀνομάζονται *ὀρθὴ* ἢ *ὀνομαστική*, *γενική*, *δοτική*, *αἰτιατική*, *κλητική*· τὰ δὲ τρία γένη *ἀρσενικὸν*, *θηλυκὸν*, *οὐδέτερον*. Τριπλοῦς δ' ἔστιν ὡσαύτως ὁ ἀριθμὸς, δηλαδὴ *ἑνικὸς*, *δυϊκὸς*, *πληθυντικός*. Τοῦ ἐπιθέτου οἱ βαθμοὶ λέγονται *θετικὸς*, *συγκριτικὸς*, *ὑπερθετικός*.

γ. Τρεῖς ἔχει διαθέσεις τὸ ῥῆμα, *ἐνεργητικὴν*, *μέσην*, *παθητικὴν*, καὶ ἐν ἑκάστῃ διαθέσει πέντε διακρίνονται ἐγκλίσεις, ὧν τέσσαρες μὲν παρεμφατικαὶ, *ὁριστικὴ*, *ὑποτακτικὴ*, *εὐκτικὴ*, *προστακτικὴ*, μία δὲ *ἀπαρέμφατος*· μέρος δὲ τοῦ ῥήματός ἐστι καὶ ἡ *μετοχή*. Οἱ χρόνοι τοῦ ῥήματος λέγονται ὧδε· *ἐνεστὼς*, *παρατατικὸς*, *μέλλων*, *ἀόριστος*, *παρακείμενος*, *ὑπερσυντελικός*. Ἰστέον δ' ὡς οἱ μὲν ἀναύξητοι χρόνοι *ἀρκτικοὶ*, οἱ δὲ δι' αὐξήσεως ἐσχηματισμένοι *παρῳχημένοι* ὀνομάζονται.

δ. *Ὑποκείμενον* λέγεται τὸ περὶ οὗ ὁ λόγος, καὶ *κατηγορούμενον*, ἢ *κατηγόρημα* τὸ κατὰ τοῦ ὑποκειμένου λεγόμενον. Διὰ μόνου τοῦ ῥήματος, καὶ ταῦτά γε παρεμφατικοῦ σχήματος, κατηγορεῖταί τι· ὅθεν, ὅπου ἂν παρῇ ῥῆμα παρεμφατικὸν, πάρεστι καὶ λόγος, καὶ ἄνευ ῥήματος παρεμφατικοῦ, εἴτε ἐκφερομένου, εἴτε ἐννοουμένου, λόγος οὐχ ἵσταται.

Β. ΠΡΟΣΔΙΟΡΙΣΜΟΙ

ἐν οἷς, ἐμπρόθετοι ἢ ἀπρόθετοι, ἐπιῤῥηματικῶς τίθενται αἱ τοῦ ὀνόματος πτώσεις.

α. *Ὁ Τόπος, ὅπου ἵσταται ἢ κινεῖταί τι, ἐκφέρεται διὰ δοτικῆς, συνήθως μὲν ἐμπροθέτου, οἷον 'ἐν τῇ Ἀκαδημίᾳ', ἐνίοτε δὲ ἀπροθέτου, μάλιστά γ' ἐπὶ τῶν τῆς Ἀττικῆς δήμων, οἷον 'Μαραθῶνι'. Ὁ Τόπος, ὁπόσε κινεῖταί τι, ἐκφέρεται δι' αἰτιατικῆς, ἐν μὲν τῷ πεζῷ λόγῳ ἐμπροθέτου, οἷον 'διέβησαν εἰς Σικελίαν', 'ἔφυγον πρὸς τὴν γῆν', 'εἶμ' ἐπὶ ναῦν'· παρὰ δὲ ποιηταῖς ἐμπροθέτου τε καὶ ἀπροθέτου, οἷον (Σοφ.) 'δόμους στείχω ἐμούς.' Ὁ Τόπος, ὁπόθεν κινεῖταί τι, ἐκφέρεται διὰ γενικῆς, ἐμπροθέτου μὲν ἐν τῷ πεζῷ λόγῳ, οἷον 'ἐκ Λακεδαίμονος' ἢ 'ἀπὸ Συρακουσῶν φεύγειν'· ἐμπροθέτου δέ τε καὶ ἀπροθέτου παρὰ τοῖς ἀρχαΐζουσι ποιηταῖς, οἷον (Σοφ.) 'εἰ μὴ τόνδ' ἄγοιντο νήσου τῆσδε.' Ὁ Τόπος, δι' οὗ κινεῖταί τι, ἐκφέρεται διὰ γενικῆς, συνήθως μὲν ἐμπροθέτου, οἷον 'δι' οὐρανοῦ πορεύεται', ἐνίοτε δὲ, ἀλλὰ μόνον παρὰ τοῖς ἀρχαιοτέροις ποιηταῖς, καὶ ἀπροθέτου, οἷον (Ὁμ.) 'ἔρχονται πεδίοιο.'*

β. *Ὁ Χρόνος, ὁπότε γίνεταί τι, μάλιστά γ' ἐν τοιαῖσδε χρόνου διαιρέσεσιν ἐμφαινόμενος, ἃς ἂν οἱ ἄνθρωποι ξυνθέμενοι ποιεῖν ποιῶσι, ἐκφέρεται δοτικῇ ἀπροθέτῳ, οἷον 'τρίτῃ ὥρᾳ', 'μηνὸς ἕκτῃ φθίνοντος'· ἐπὶ δὲ τῶν ἤδη γεγενημένων ἐκφέρεται καὶ αἰτιατικῇ ἀπροθέτῳ, τῇ τὰ ἀπὸ τοῦ περὶ οὗ ὁ λόγος συμβάντος μέχρι τοῦ νῦν παρελθόντα χρονικὰ διαστήματα διὰ τακτικοῦ ἀριθμητικοῦ ὀνόματος δηλούσῃ, ἔσθ' ὅτε τοῦ ἤδη παρεντιθεμένου, οἷον 'τρίτην ἤδη ἡμέραν ἀπέθανε ὁ πατήρ'. Τὸ δὲ Χρόνου διάστημα, ἐν ᾧ γίνεταί τι, ἐκφέρεται γενικῇ, εἴτε ἀπροθέτῳ, ἄλλως τε καὶ ἐπὶ τῶν φύσει ὑπαρχουσῶν χρόνου διαιρέσεων, οἷον 'οἱ λαγῳ τῆς νυκτὸς νέμονται', εἴτε ἐμπροθέτῳ, προτιθεμένης ἐπὶ μὲν κυρίων ὀνομάτων τῆς ἐπὶ προθέσεως, οἷον 'ἐπὶ Θησέως', 'ἐπὶ Κύρου βασιλεύοντος', τὰ δ' ἄλλα προτιθεμένης τῆς διὰ προθέσεως, οἷον 'διὰ πολλοῦ αὐτοὺς οὐχ ἑώρακα.' Ὡσαύτως ἐκφέρεται τὸ Χρόνου διάστημα, ἐν ᾧ γίγνεταί τι, διὰ δοτικῆς μετὰ τῆς ἐν προθέσεως, οἷον 'ἐν ἑβδομήκοντα ἔτεσιν οὐκ*

ἂν εἷς λάθοι πονηρὸς ὤν'. Ὁ Χρόνος, ὁπότε ὡς ἔγγιστα γίνεταί τι, ἐκφέρεται δι' αἰτιατικῆς μετὰ τῆς περὶ ἢ ἀμφὶ προθέσεως, οἷον 'περὶ ἔτη μάλιστα πέντε καὶ ἑξήκοντα', 'ἀμφὶ μέσας πω νύκτας'. Ὁ Χρόνος, ὁποσάκις γίνεταί τι, ἐκφέρεται διὰ γενικῆς ἀπροθέτου, οἷον 'ὁ ὁπλίτης δραχμὴν ἐλάμβανε τῆς ἡμέρας'.

γ. Τὸ Ποσὸν τόπου, χρόνου κ. τ. λ. ἐκφέρεται δι' αἰτιατικῆς ἀπροθέτου, οἷον 'ἀπέχει ἡ Πλάταια τῶν Θηβῶν σταδίους ἑβδομήκοντα', 'πολὺν χρόνον ἐμάχοντο'·* ἢ καὶ μετὰ τῶν ἀνὰ, κατὰ, παρὰ προθέσεων, οἷον 'ἀνὰ πᾶσαν τὴν γῆν', 'κατὰ ἢ παρὰ πάντα τὸν πόλεμον.' Δῆλον δ' οὖν ὡς τὸ τοῦ χρόνου πλῆθος γενικῇ τε καὶ αἰτιατικῇ ἐκφέρεται· ἔνεστι δ' ἐν ἑκατέρᾳ διαφορὰ ἥδε. Διὰ μὲν τῆς γενικῆς ὑπαινίσσεται σημεῖόν τι χρόνου ἐν τῷ πλήθει ὑπάρχον, καθ' ὃ ἐγένετο ἡ πρᾶξις, διὰ δὲ τῆς αἰτιατικῆς ἅπας ὁ χρόνος καθ' ὃν διήρκεσε ἡ πρᾶξις δηλοῦται. Τέλος, τὸ Ποσὸν ἐπὶ ἀνταλλαγῶν, δηλαδὴ τὸ τιμὴν δηλοῦν, κατὰ γενικὴν τίθεται, οἷον 'τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ Θεοί.'

ϱ. Τὸ Αἴτιον, ὁποιονδήποτε ἂν ᾖ, ἐξαιρουμένου δὴ τοῦ τελικοῦ αἰτίου, παρὰ τοῖς ποιηταῖς διὰ γενικῆς ἀπροθέτου, συνήθως δὲ διὰ γενικῆς μετὰ τῆς ὑπὸ προθέσεως ἐκφέρεται, οἷον 'ἀδικεῖσθαι ὑπό τινος'· κείσθω δὲ τοῦτο ποιητικοῦ αἰτίου παράδειγμα. Τὸ προτρεπτικὸν ἢ ἀναγκαστικὸν αἴτιον καὶ διὰ δοτικῆς ἐκφέρεται ἀπροθέτου, οἷον 'φόβῳ πράττειν τι·' ** πρὸς δὲ δι' αἰτιατικῆς μετὰ τῆς διὰ προθέσεως, οἷον 'λέγονται Ἀθηναῖοι διὰ Περικλέα βελτίους γεγονέναι.' Τριπλῇ ἐκφέρεται τὸ τελικὸν αἴτιον, δηλαδὴ διὰ γενικῆς μετὰ τοῦ χάριν ἢ ἕνεκα προθετικῶς ἐκλαμβανομένων, οἷον 'κολακεύουσιν ἕνεκα ἀργυρίου'· ἢ διὰ δοτικῆς μετὰ τῆς ἐπὶ προθέσεως, οἷον 'ἐπὶ γέλωτι'· ἢ δι'

---

* Πολλὰ τῶν τὸ Ποσὸν δηλούντων ἐπιῤῥημάτων οὐκ ἄλλο τί ἐστιν ἢ ἐπίθετα οὐδέτερα κατ' αἰτιατικὴν, οἷον ὀλίγον, πολὺ, μέγα κ. τ. λ.

** Ἔσθ' ὅτε καὶ τὸ ποιητικὸν αἴτιον διὰ δοτικῆς ἐκφέρεται ἀπροθέτου, τὰ μὲν πλείω ἐπὶ ἀντωνυμιῶν, οἷον 'ταῦτα λέλεκταί μοι', πάντοτε δὲ ἐπὶ τῶν εἰς τέος ληγόντων ῥηματικῶν, οἷον 'ἐπιθυμητέον ἐστὶ τοῖς ἀνθρώποις τῆς ἀρετῆς.'

αἰτιατικῆς μετὰ τῆς πρὸς προθέσεως, οἷον 'παντοδαπὰ εὑρημένα ταῖς πόλεσι πρὸς φυλακὴν καὶ σωτηρίαν'.

ε. Ὁ Τρόπος, καθ' ὃν γίνεταί τι, διὰ δοτικῆς ἐκφέρεται, ἢ ἀπροθέτου, οἷον 'βίᾳ εἰς οἰκίαν παριέναι', ἢ καὶ τῆς ἐν προθέσεως προσλαμβανομένης, οἷον 'ἐν σιωπῇ ἐκάθηντο'· πρὸς δὲ καὶ δι' αἰτιατικῆς μετὰ τῆς κατὰ προθέσεως, οἷον (Δεμ.) 'συμβαίνει τῷ μὲν (Φιλίππῳ), ἐφ' ἃ ἂν ἔλθῃ, ταῦτ' ἔχειν κατὰ πολλὴν ἡσυχίαν'.

ς. Τὸ Ὄργανον, δι' οὗ γίνεταί τι, διὰ δοτικῆς ἐκφέρεται, ἢ ἀπροθέτου, οἷον 'οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο', ἢ μετὰ τῆς ἐν προθέσεως, οἷον 'ἐν τόξοις διαγωνίζεσθαι'· πρὸς δὲ ἐκφέρεται διὰ γενικῆς μετὰ τῆς διὰ προθέσεως, οἷον 'δι' ὀφθαλμῶν ὁρᾶν'. Ἰστέον ὅτι τὸ ποσὸν, ὡς ὄργανον θεωρούμενον, μάλιστά γε τὸ διαφορὰς μέτρον δηλοῦν, κατὰ δοτικὴν τίθεται ἀπρόθετον, οἷον 'ἐνιαυτῷ πρεσβύτερος'.

ζ. Τὸ κατά τι δι' αἰτιατικῆς ἐκφέρεται, ἀπροθέτου μὲν τὰ πολλὰ, οἷον 'δεινοὶ μάχην', 'ἀλγῶ τοὺς πόδας'· ἐνίοτε δὲ καὶ μετὰ τῶν κατὰ, πρὸς, εἰς προθέσεων, οἷον 'ξανθὸς κατὰ τὴν κόμην', 'σοφὸς πρός τι', 'ἔνδοξος εἰς τὰ πολεμικά'. Ἡ δὲ δοτικὴ, τὴν κατά τι σχέσιν ὡς ὄργανον δηλοῦσα, τίθεται ἀπροθέτως, οἷον 'ἄμαχοι καὶ πλήθει, καὶ πλούτῳ, καὶ τέχνῃ, καὶ ῥώμῃ'.

Γ. ΚΑΝΟΝΕΣ ΣΥΝΤΑΞΕΩΣ, ΟΙ ΚΥΡΙΩΤΕΡΟΙ.

α. Ὀνόματα, τὰ μὲν πρὸς τὸ αὐτὸ πρόσωπον ἢ πρᾶγμα ἀναφερόμενα, ὁμοιοπτώτως τίθενται, οἷον 'Δημοσθένης ὁ ῥήτωρ'· τοῦτο δὲ ὀνομάτων πρόσθεσις καλεῖται. Τὰ δὲ πρὸς διάφορα ἄλλῳ ἄλλο ὑποτάσσεται ἐπὶ γενικῆς, οἷον 'ὁ τοῦ δένδρου καρπός'.

β. Τὸ Ἐπίθετον καὶ ἡ Μετοχὴ συμφωνοῦσι τοῖς εἰς ἃ ἀναφέρονται ὀνόμασι κατὰ γένος, ἀριθμὸν, πτῶσιν, οἷον 'χρηστὸς ἀνὴρ', 'οἱ παῖδες οἱ φοιτῶντες εἰς τὰ διδασκαλεῖα'. Πολλῶν τῶν ὀνομάτων ὄντων, τίθεται τὸ ἐπίθετον ἢ ἡ μετοχὴ πληθυντικῶς. Ἐπὶ μὲν ἀψύχων, εἴτε ὁμογενῶν εἴτε ἑτερογενῶν, κατ' οὐδέτερον γένος, οἷον 'ταραχαὶ καὶ στάσεις ὀλέθρια ταῖς πόλεσι', 'λίθοι τε καὶ πλίνθοι καὶ ξύλα καὶ κέραμος, ἀτάκτως ἐῤῥιμμένα, οὐδὲν χρησιμά ἐστι.' Ἐπὶ

δὲ ἐμψύχων, τῶν μὲν ὁμογενῶν, κατὰ τὸ τοῖς ὀνόμασι κοινὸν γένος, τῶν δὲ ἑτερογενῶν, κατὰ τὸ ἐπικρατέστερον· ἔστι δὲ ἐπικρατέστερον τὸ μὲν ἀρσενικὸν τοῦ θηλυκοῦ, τὸ δὲ θηλυκὸν τοῦ οὐδετέρου, π. χ. 'ἡ γυνὴ καὶ ὁ ἀνὴρ ἀγαθοὶ' λέγονται, καὶ οὐχὶ 'ἀγαθαί'. Ἰστέον δ' ὅτι, ἡνίκα κατ' ὀνομαστικὴν ἐπίθετόν τι ὀνόματι παρατίθεται ἐνάρθρῳ, καίτοι τοῦ συνδετικοῦ ἐλλείποντος, λόγος αὐτοτελὴς ἀπαρτίζεται· οὕτω δὴ τὸ 'θνητὸς ὁ ἄνθρωπος' δύναται τὸ 'θνητός ἐστιν ὁ ἄνθρωπος', καὶ τὸ 'ὁ ἄνθρωπος θνητός' δύναται τὸ 'ὁ ἄνθρωπος θνητός ἐστιν'. Μετοχῆς δὲ κατὰ γενικὴν ὀνόματι παρατιθεμένης, προσδιορισμὸν δὴ τότε ἡ συμφωνία αὕτη, χρονικὸν ἢ ὑποθετικὸν ἢ ἄλλον οἱοντινοῦν, ἐπιῤῥηματικῶς πως ἐκδηλοῖ, οἷον 'ὄρθρου γενομένου ἀφικόμεθα', 'ὁρῶ, τοῦ χωρίου χαλεποῦ ὄντος, τοὺς τριηράρχους ἀποκνοῦντας'· αὕτη δὲ παρὰ τοῖς νεωτέροις πτῶσις ἢ σύνταξις ἀπόλυτος καλεῖται.

γ. Παρεμφατικοῦ ῥήματος τὸ ὑποκείμενον τίθεται κατ' ὀνομαστικὴν, καὶ ταύτῃ συμφωνεῖ τὸ ῥῆμα κατ' ἀριθμόν τε καὶ πρόσωπον, οἷον 'Κῦρος τέθνηκε'. Εἰώθασι μέντοι οἱ Ἀττικοὶ πληθυντικὴν ὀνομαστικὴν οὐδετέραν, ἐὰν ἄψυχα μάλιστα δηλοῖ, ῥήματι ἑνικῷ παρατιθέναι, οἷον 'ἔαρος θάλλει τὰ ῥόδα',* καὶ τοῦτο δή ἐστι τὸ λεγόμενον σχῆμα Ἀττικόν. Ἐκφαίνεται δὲ καὶ τοὐναντίον· ὑποκείμενον δηλαδὴ περιληπτικὸν καθ' ἑνικὸν ἀριθμὸν ἐφέλκεται τὸ ῥῆμα κατὰ πληθυντικὸν, ἐξόχως δὴ ὅταν διάκρισις τῶν ἐν τῇ πληθύϊ ὑποκειμένων νοῆται, καὶ τὸ ῥῆμα καθ' ἑκάστου τούτων κατηγορῆται, οἷον (Ὁμ.) 'ὡς φάσαν ἡ πληθύς'· ἄλλως δὲ, τοῦ ὑποκειμένου ὡς ἁπλῆς ἑνάδος νοουμένου, παρατίθεται καὶ τὸ ῥῆμα καθ' ἑνικὸν ἀριθμὸν, οἷον 'ἀναρίθμητός ἐστιν ἡ πληθύς'. Ἐν τούτοις τε κἂν τοῖς ἑξῆς παραδείγμασι 'ἀνὴρ σὺν παιδὶ πάρεισι', 'ἀνὴρ καὶ γυνὴ πάρεισι', τὸ κατὰ σύνεσιν ἰσχύει σχῆμα. Πλειόνων δ' ὄντων τῶν τοῦ

---

* Συνήθως μὲν παραλείπονται αἱ ὑποκείμενον δηλοῦσαι ἀντωνυμίαι, οἷον 'ἀλγῶ τὴν κεφαλήν'· τὸ γὰρ πρόσωπον διὰ τῆς καταλήξεως αὐτοῦ τοῦ ῥήματος δηλοῦται. Ἐμφάσεως δὲ χάριν ἐκφέρονται, οἷον 'οὐκ αὐτὸς, ἀλλ' ἐγώ γ' ἐτόλμησα τὸν ποταμὸν διαβῆναι πρῶτος'.

ῥήματος ὑποκειμένων καὶ ἑτεροπροσώπων, τίθεται τὸ ῥῆμα κατὰ τὸ ἐπικρατέστερον, νικᾷ δ' ἀεὶ τὸ πρῶτον τὸ δεύτερον πρόσωπον, καὶ τοῦτο τὸ τρίτον, οἷον 'ξυμφωνοῦμεν ἐγώ τε καὶ ὑμεῖς', 'οὐ σὺ μόνος, οὐδὲ οἱ σοὶ φίλοι πρῶτοι καὶ πρῶτον ταύτην τὴν δόξαν περὶ θεῶν ἔσχετε'. Ἀλλὰ καὶ κατὰ τὸ προσεχέστερον, ὁποιουδήποτε ἀριθμοῦ τε καὶ προσώπου ἂν ᾖ, τίθεται τὸ ῥῆμα, οἷον 'ἐγὼ λέγω καὶ Σεύθης τὰ αὐτά', 'ἐνίκων οὗτοι οἱ ξένοι, καὶ ἡμεῖς μετ' ἐκείνων'.

δ. Τῆς ἀπαρεμφάτου τὸ ὑποκείμενον τίθεται κατ' αἰτιατικὴν, οἷον 'πάντας τοὺς ἀνθρώπους ἁμαρτάνειν ἀληθές'. Ἐὰν ὅμως τὸ αὐτὸ ἔχῃ ὑποκείμενον ἡ ἀπαρέμφατος καὶ παρεμφατικόν τι ῥῆμα ἐξ οὗ ἐξαρτᾶται ἡ ἀπαρέμφατος, ἢ παραλείπεται τὸ ὑποκείμενον τοῦτο, τὸ ἀμφοτέροις κοινὸν, οἷον 'ὁμολογῶ ἡμαρτηκέναι', ἢ τίθεται κατ' ὀνομαστικὴν, οἷον 'φησὶ αὐτὸς τὴν ἐπιστολὴν γεγραφέναι.'

ε. Ἡ ἀναφορικὴ λεγομένη ἀντωνυμία συμφωνεῖ τῷ ἑαυτῆς ἡγουμένῳ κατὰ γένος καὶ ἀριθμὸν καὶ πρόσωπον, οἷον 'Ζεὺς ὃς ἐφορᾷ πάντα'. Τῷ συντακτικῷ δὲ σχήματι, ὃ καλεῖται ἕλξις ἢ ἐφελξις, ἕλκεται ἡ ἀντωνυμία εἰς τὴν πτῶσιν τοῦ ἡγουμένου, καὶ δὴ τὸ 'χρῶμαι τοῖς ἀγαθοῖς ἃ ἔχω' τρέπεται ὧδε, 'χρῶμαι τοῖς ἀγαθοῖς οἷς ἔχω', ἢ καὶ, μεταθέσει τοῦ ἡγουμένου, 'χρῶμαι οἷς ἔχω ἀγαθοῖς'. Ἀντιστρόφως δ' ἔσθ' ὅτε καὶ ἡ ἀντωνυμία ἕλκει τὸ μετατεθειμένον ἡγούμενον, καὶ δὴ τὸ 'οὗτος ἐστὶν ὁ ἀνὴρ ὃν εἶδες' μεταβάλλεται εἰς τὸ 'οὗτος ἐστὶν ὃν εἶδες ἄνδρα'.

ϛ. Γενικῇ συντάσσονται ἐπίθετα καὶ ῥήματα, τὰ πληρώσεως, μεθέξεως, ἐμπειρίας, ἐπιμελείας, μνήμης, ἐπιτυχίας, φειδοῦς σημαντικὰ, καὶ τὰ τούτοις ἐναντία· πρὸς δὲ ἐκ τῶν ἐπιθέτων τὰ εἰς ικός λήγοντα, τὰ ἐκ τοῦ α στερητικοῦ σύνθετα, καὶ τὰ παραθετικὰ, τὰ συγκριτικὰ δηλαδὴ καὶ ὑπερθετικά, καὶ τούτοις ἀνάλογα, οἷον δεύτερος, περιττός· ἐκ δὲ τῶν ῥημάτων τὰ ἀρχικα καὶ ὑπαρχικὰ, τὰ ἐνάρξεως ἢ λήξεως σημαντικὰ, καὶ τὰ τῶν αἰσθήσεων, πλὴν τοῦ ὁρῶ.

ζ. Δοτικῇ συντάσσονται ἐπίθετα καὶ ῥήματα, τὰ ὁμοιότητος, ἀναλογίας, προσεγγίσεως, μίξεως σημαντικὰ, τά τε φιλικὴν ἢ ἐχθρικὴν πρός τινα διάθεσιν δηλοῦντα,

ἅπερ, συντομίας χάριν, περιποιητικὰ καὶ ἀντιπεριποιητικὰ ὑπὸ τῶν γραμματικῶν καλοῦνται· πρὸς δὲ τὰ ἀπρόσωπα λεγόμενα ῥήματα.

η. Αἰτιατικῇ συντάσσονται τὰ ἰδίως ἢ ἀμέσως μεταβατικὰ ῥήματα. Μεταβατικὰ καλοῦνται τὰ ῥήματα τὰ τοιάνδε ἐνέργειαν δηλοῦντα, ἥτις ἐξ ἀνάγκης εἰς πρόσωπον ἢ πρᾶγμα διάφορον τοῦ ὑποκειμένου, τὸ παρὰ γραμματικοῖς ἀντικείμενον λεγόμενον, μεταβαίνει. Π. Χ. διὰ τοῦ τρέχειν δηλοῦται μὲν ἐνέργεια, ἀλλ' ἐπεὶ αὐτοτελές τι ἐκφαίνει, οὐδὲ πρὸς συμπλήρωσιν τῆς ἑαυτοῦ ἐννοίας ἀντικείμενον ἐπιδέχεται, μεταβατικὸν οὐ λέγεται· τὰ δέ σφάττειν, ἐπιθυμεῖν, ἕπεσθαι, μεταβατικὰ λέγονται ῥήματα, ἅτε ἐπ' ἄλλο τι μεταβαινούσης τῆς δι' αὐτῶν δηλουμένης ἐνεργείας, οἷον ἐν τοῖς 'σφάττω τὸν βοῦν', 'ἐπιθυμῶ σοφίας', 'δεῖ ἕπεσθαι τῷ ἡγεμόνι.' Διαιρετέα δὲ ἐν τούτοις τὰ ἰδίως ἢ ἀμέσως μεταβατικὰ τῶν ἐμμέσων μεταβατικῶν ῥημάτων· ἔνεστι γὰρ διαφορὰ ἥδε. Τὰ τῇ αἰτιατικῇ συντασσόμενα ῥήματα, φύσει δραστικώτερα, ἐμφαίνουσι καὶ μεταβολήν τινα τοῦ ἀντικειμένου, διὸ καὶ ἰδίως ἢ ἀμέσως μεταβατικὰ καλοῦνται· τὰ δὲ γενικῇ ἢ δοτικῇ συντασσόμενα, μόνην τὴν τοῦ ὑποκειμένου διάθεσιν ἐκδηλοῦντα, τοῦ δὲ ἀντικειμένου οὐδεμίαν μεταβολήν, ἐμμέσως μεταβατικὰ ὑπὸ τῶν γραμματικῶν καλοῦνται. Ἔνια ῥημάτων εἴδη διπλοῦ δέονται ἀντικειμένου, ὧν τὸ κύριον, πρὸς ὃ ἰδίᾳ ἡ τοῦ ῥήματος ἐνέργεια φέρεται, κατ' αἰτιατικὴν τιθέμενον, ἄμεσον λέγεται, τὸ δὲ κατ' ἄλλην τινὰ τῶν πλαγίων, ἢ καὶ κατ' ἄλλην αἰτιατικὴν, ἔμμεσον. Π. Χ. ἐν τῷ 'Χριστιανοῦ ἀληθινοῦ ἐστι τοῖς πεινῶσι ἄρτον διδόναι', τὸ ἄρτον, τὸ μεταβολήν τινα, θέσεως δηλονότι, ὑφιστάμενον, καὶ κατ' αἰτιατικὴν τιθέμενον ἀντικείμενον, ἄμεσον λέγεται, τὸ δὲ πεινῶσι, ἔμμεσον. Δίπτωτα δὲ ταῦτα οἱ γραμματικοὶ καλοῦντες διακρίνουσι τῶν λοιπῶν, ἃ μονόπτωτα ἐκεῖνοι ὠνόμασαν.

θ. Αἰτιατικῇ καὶ γενικῇ συντάσσονται τὰ πληρωτικὰ καὶ κενωτικὰ, οἷον 'ζεύγη καὶ ὑποζύγια σίτου γεμίσαντες', 'οἶμαι ταύτης ἀπαλλάξειν σὲ τῆς ὀφθαλμίας'· τὰ μνημονευτικὰ, οἷον 'ἀναμιμνήσκειν τινά τινος'· τὰ ἀνταλ-

λακτικά, οἷον 'πλείστου τιμᾶν τί'· τὰ δεόμενα τοῦ προσδιορισμοῦ τῆς αἰτίας δι' ἥν τι γίνεται, οἷον 'ἐπαινεῖν τινα τῆς ἀρετῆς.'

ι. Αἰτιατικῇ καὶ δοτικῇ συντάσσονται τὰ δόσεως, διηγήσεως, ἐναντιότητος σημαντικά, οἷον 'τὰ ἀγαθὰ διδόναι τοῖς δικαίοις', 'τὸ ἀληθὲς ἀγγέλλειν τινί', 'ἴσους ἴσοις πολεμίοις ἀντιτιθέναι.'

κ. Διπλῇ αἰτιατικῇ συντάσσονται τὰ ἱκετευτικά, τὰ παιδευτικά, τὰ ἐνδύσεως ἢ ἐκδύσεως σημαντικά, τὰ τὴν ἔννοιαν ἔχοντα τοῦ εὖ ἢ κακῶς λέγειν ἢ ποιεῖν.

λ. Τὰ εἰς τέος λήγοντα ῥηματικὰ διττὴν ἔχουσι τὴν σύνταξιν. Τὰ μὲν ἐξ ἰδίως μεταβατικῶν ῥημάτων καταγόμενα ἢ συμφωνοῦσι, ἐπιθέτων καὶ μετοχῶν δίκην, τῷ τοῦ λόγου ὑποκειμένῳ, οἷον 'διαφυλακτέα ἡ τάξις', ἢ τίθενται κατ' οὐδέτερον γένος, ἑνικῶς τε καὶ πληθυντικῶς, μεταβαλλομένης τῆς πρότερον ὀνομαστικῆς εἰς αἰτιατικήν, οἷον 'διαφυλακτέον' ἢ καὶ 'διαφυλακτέα τὴν τάξιν.' Τὰ δὲ ἐξ ἐμμέσως μεταβατικῶν ῥημάτων παραγόμενα, κατὰ μόνον τὸν δεύτερον τρόπον συντάσσονται· ἰστέον ὅμως ὅτι τῶν ῥηματικῶν τούτων τὸ ἀντικείμενον κατὰ τὴν πτῶσιν τίθεται, τὴν τῷ ῥήματι οἰκεῖαν ἐξ οὗ παράγεται ἕκαστον, οἷον 'ἀντιληπτέον τῶν πραγμάτων', 'ἐπιχειρητέον τῷ ἔργῳ.'

Δ. ΠΕΡΙ ΑΠΟΦΑΤΙΚΩΝ ΜΟΡΙΩΝ.

α. Πᾶσαι μὲν αἱ τοῦ ῥήματος ἐγκλίσεις, πλὴν τῆς ἀπαρεμφάτου, κατηγοροῦσί τι κατά τινος, προδηλότατον δ' ὡς ἑκάστη κατὰ τὴν οἰκείαν αὐτῆς φύσιν καὶ δύναμιν· καὶ τὰ ἀποφατικὰ μόρια, τῇ τῶν ἐγκλίσεων δυνάμει ἑλκόμενα, ἄλλῃ ἄλλο πρέπει. Καὶ δὴ καὶ τῇ ὁριστικῇ, ὡς θετικόν τι καὶ βέβαιον παριστώσῃ, πρέπει τὸ ἀποφατικὸν οὐ, οἷον 'οὔκ ἐστι ταῦτα'· ταῖς δὲ λοιπαῖς τῶν ἐγκλίσεων, αἳ οὐκ ὄντως τι ὂν παριστᾶσι, ἀλλά τι ὑποτιθέμενον, ἢ προστασσόμενον, ἢ εὐκτὸν, πρέπει τὸ μή, οἷον 'μὴ ὑβρίσῃς', 'μὴ γένοιτο', 'ὦ τέκνα μὴ καταφρονεῖτε τοῦ πένητος'.

β. Ἡ ἐνιαχοῦ παράβασις τοῦ κανόνος τούτου, οὐκ οὖσα ἀλλὰ φαινομένη, κυρεῖ μάλιστα τὸ ῥηθέν. Ἐν τῷ Ὁμηρικῷ 'οὔπω

τοίους ἴδον ἀνέρας, οὐδὲ * ἴδωμαι', τὰ τοῦ μέλλοντος τῆς ὁριστικῆς ἐπέχουσα ἡ ὑποτακτικὴ, ὄντως τι ὂν καὶ οὐχ ὑποτιθέμενον ἐξηγεῖ. Τὸ 'οὐκ ἂν γένοιτο ταῦτα', καὶ παρόμοιοι λόγοι, οὐχ ὑποτιθέμενόν τι δηλοῦντες, ἀλλ' εὐγενείας ἢ χάριτος ἕνεκα τὸ τοῦ θετικοῦ βαρὺ καὶ αὐστηρὸν μετριάζοντες, τὰ ἴσα ἔχουσι λόγῳ θετικῷ· ἔστιν ἄρ' ὁ ῥηθεὶς λόγος οὐκ ἄλλος ἢ ὁ 'οὐκ ἔστι γενέσθαι ταῦτα'. Ἔν τε διηγήσει τίθεται οὐ μετ' εὐκτικῆς, ἡνίκα ἡ ἔγκλισις αὕτη τὰ τῆς ὁριστικῆς ἐκπληροῖ, οἷον 'λέγων ὅτι οὔπω δὴ πολλοῦ χρόνου ἡδίονι οἴνῳ ἐπιτύχοι'· αὐτὸς γὰρ ὁ λέγων ἐπέτυχον εἶπεν ἂν, κατ' ὁριστικήν. Ἔστι δ' ὅτε καὶ ἡ ὁριστικὴ ἀποβάλλουσα τὴν οἰκείαν αὐτῆς θετικὴν δύναμιν, καὶ ὑποθετικὴν παρατιθεμένη, ἕλκει τὸ μή· ἔστι δὲ τοῦτο ἰδεῖν, ὅταν ἐρωτήματα, καὶ εὐχὰς, καὶ ὑποθέσεις ἐκδηλοῖ. Οὐκ ἔστι δ' εὑρεῖν οὐδαμῶς παρὰ τῇ προστακτικῇ τὸ οὐ παρακείμενον. Τέλος δὲ παρὰ τῇ ἀπαρεμφάτῳ, καὶ μετοχῇ, κρατούντων τῶν καθόλου εἰρημένων, παράκειται οὐ ἐπὰν ὁ λόγος ἀναλυόμενος ὁριστικῇ, μὴ δὲ ἐπὰν ὑποτακτικῇ ἢ εὐκτικῇ μετατρέπηται.

---

* Τὸ περὶ τῶν ἁπλῶν μορίων λεγόμενον ἀληθεύει καὶ περὶ τῶν ἐκ τούτων συνθέτων.